UNIVERSITÄTS-
BIBLIOTHEK
PADERBORN

# Universitätsbibliothek Paderborn

## Sōkratus Scholastiku Kai Ermeiu Sozomenu Ekklēsiastikē Istoria

**Socrates <Scholasticus>**

**Mogvntiae, 1677**

II. Quomodo Valentiniano in Occidentem profecto, Valens Constantinopoli degens, Macedonianis ipsum adeuntibus, & Synodum fieri poscentibus, id permisit: & quomodo homousianos prosecutus est.

**urn:nbn:de:hbz:466:1-14233**

Visual Library

εἶχεν ἕκαστος ζῆλον ἐπεδείξαντο· θύειν γὰρ ἀναγκαζόμενοι, τὰς ζώνας τῆς στρατείας μᾶλλον ἀφιέναι ᾑροῦντο, ἢ ἀφιέναι τὸν χριστιανισμόν· ἀλλὰ τότε μὲν ἰουλιανὸς ὁ βασιλεὺς, χρειώδεις τοὺς ἄνδρας τοῖς δημοσίοις εἰδὼς, οὐδένα τῆς στρατείας ἐκίνει, ὥσπερ οὐδὲ ἰοβιανὸν τὸν μετ' αὐτὸν βασιλεύσαντα· ὕστερον δὲ βασιλεύσαντες, περὶ μὲν τὴν τῶν δημοσίων πρόνοιαν, ἐν ἀρχῇ παραπλήσιοι ἀλλήλοις ὄντες ἐτύγχανον· περὶ δὲ τὸν χριστιανισμὸν, ὡς ἔφην, διαφωνοῦντες, οὐχ ὁμοίῳ τρόπῳ κατὰ τῶν χριστιανιζόντων ἐκέχρηντο· οὐαλεντινιανὸς μὲν γὰρ, τοὺς μὲν οἰκείους συνεκρότει· τοῖς δὲ ἀρειανίζουσιν οὐδαμῶς ἦν ὀχληρός· οὐάλης δὲ ἀρειανοὺς αὐξῆσαι προαιρούμενος, δεινὰ κατὰ τῶν μὴ τοιαῦτα φρονούντων εἰργάσατο, ὡς προϊὼν ὁ τῆς ἱστορίας δηλώσει λόγος· κατὰ δὴ τὸν χρόνον τόνδε, τῆς μὲν ἐν ῥώμῃ ἐκκλησίας προεστήκει λιβέριος· ἐν δὲ τῇ ἀλεξανδρείᾳ, τῆς μὲν ὁμοουσίου πίστεως ἀθανάσιος· τῆς δὲ ἀρειανιζούσης λούκιος, ὃν μετὰ γεώργιον κατέστησαν οἱ ἀρειανίζοντες· τῶν δὲ κατὰ τὴν ἀντιόχειαν ἀρειανῶν ἡγεῖτο εὐζώϊος· διῄρηντο δὲ οἱ τοῦ ὁμοουσίου· τῶν μὲν γὰρ παυλῖνος, τῶν δὲ μελίτιος προεστήκεσαν· τῶν δὲ περὶ τὰ ἱεροσόλυμα, κύριλλος αὖθις ἐκράτει· ἐν δὲ κωνσταντινουπόλει, εὐδόξιος μὲν τῶν ἐκκλησιῶν ἐκράτει, τὴν ἀρείου δόξαν διδάσκων· οἱ δὲ τοῦ ὁμοουσίου φρονήματος, ἐν μικρῷ οἰκίσκῳ τὰς συναγωγὰς ἐποιοῦντο ἔνδον τῆς πόλεως· τῆς δὲ μακεδονιανῆς θρησκείας, ἔτι κατὰ τὰς πόλεις ἐκράτουν τῶν εὐκτηρίων οἴκων οἱ ἐν σελευκείᾳ διδαχθέντες παρὰ ἀκάκιον· ἐν τοιαύτῃ μὲν δὴ καταστάσει, τὰ τῶν ἐκκλησιῶν ἦν.

## Κεφ. β΄.

Ὅτι οὐαλεντινιανοῦ ἐπὶ τὰ ἑσπέρια μέρη χωρουμένου, οὐάλης ἐν κωνσταντίνου πόλει προσελθόντων μακεδονιανῶν, καὶ αἰτούντων σύνοδον γενέσθαι, ἐπένευσε· καὶ ὅτι τοὺς τοῦ ὁμοουσίου ἐπολέμει.

Τῶν δὲ βασιλέων, οὐαλεντινιανὸς μὲν τὰ ἑσπέρια μέρη ταχέως κατέλαβεν· εἷλκε γὰρ αὐτὸν ἡ τῶν ἐκεῖ πραγμάτων φροντίς· οὐάλεντι δὲ μικρὸν κατὰ τὴν κωνσταντίνου πόλιν ἐπιμείναντι, προσέρχονται πλεῖστοι τῶν ἐπισκόπων τῆς μακεδονιανῶν θρησκείας, ἐξαιτοῦσίν τε ἄλλην γενέσθαι σύνοδον ἐπὶ διορθώσει

ſtudioſus religionis ſuæ uterque eſſet, oſtenderat. Cum enim ſacrificare compellerentur, militiæ cingulum abjicere, quàm religionem ſuam deſerere maluerunt. Verum Imperator Julianus, quippe qui probe ſciret eos viros reipublicæ utiles eſſe, neutrum tunc à gradu militiæ removit: ſicut neque Jovianum qui ipſi in imperio ſucceſſit. Poſt hæc vero ad Imperium evecti, in reipublicæ quidem curâ pares inter ſe initio exſtiterunt: in Chriſtiana autem religione diſcrepantes, ut dixi, diſpari modo adverſus Chriſtianos ſe geſſêre. Nam Valentinianus ſuæ quidem ſectæ atque opinionis homines fovebat: Arianos tamen nulla afficiebat moleſtia. Valens vero Arianos promovere cupiens, eos qui diverſa ab illis ſentiebant, acerbiſſime vexavit, ſicut in progreſſu hiſtoriæ declarabitur. Per idem tempus Romanæ Eccleſiæ præerat Liberius: Alexandriæ vero homouſianis quidem Athanaſius: Arianis vero Lucius præſidebat, quem Ariani poſt Georgii necem ordinaverant. Apud Antiochiam Arianæ factionis Epiſcopus erat Euzoius. Qui vero conſubſtantialis fidem illic tuebantur, duas in partes diviſi erant: quarum alteri Paulinus, alteri præerat Melitius. Ieroſolymorũ Eccleſiam Cyrillus denuo obtinebat. Conſtantinopoli Eudoxius Eccleſiis potiebatur, Arianorum dogma palam prædicans: homouſiani vero in exigua quadam ædicula intra urbem collectas agebant. Porro ex Macedonianorum ſecta ij qui Seleuciæ ab Acacio diſſenſerant, Eccleſias ſuas in ſingulis urbibus etiam tum retinebant. Hujuſmodi in ſtatu tunc temporis res Eccleſiæ erant.

## Caput II.

*Quomodo Valentiniano in Occidentem profecto, Valens Conſtantinopoli degens, Macedonianis ipſum adeuntibus, & ſynodum fieri poſcentibus id permiſit: & quomodo homouſianos perſecutus eſt.*

IMperatorum vero alter, Valentinianus ſcilicet, ad Occidentis partes perrexit. Illuc enim Reipublicæ cura eum evocabat. Valens vero cum aliquandiu ſubſtitiſſet Conſtantinopoli, interpellatus eſt à plurimis Macedonianæ ſectæ Epiſcopis, ut novam Synodum ad fidem corrigendam fieri



UNIVERSITÄTS-BIBLIOTHEK PADERBORN

permitteret. At ille, cum exiſtimaret A eos cum Acacio & Eudoxio conſentire, id fieri permiſit. Et iſti quidem Concilium in urbe Lampſaco celebrare ſatagebant. Valens vero omni feſtinatione Antiochiam Syriæ contendit; veritus ſcilicet ne Perſæ ruptis triginta annorum induciis quas regnante Joviano pacti fuerant, in Romanorum fines invaderent. Verum Perſæ quidem quievére. Ipſe vero hac rerum tranquillitate male uſus, bellum inexpiabile contra homouſianos excitavit. Ac Paulinum quidem Epiſcopum ob eximiam ejus viri religionem, nullo affecit incommodo. Melitium autem exilio mulctavit. B Cæteros omnes qui cum Euzoio communicare renuiſſent, Eccleſiis urbis Antiochiæ expulit, & graviſſimis damnis ac ſuppliciis affecit. Multos etiam in Oronte fluvio qui urbem præterfluit, ſubmerſiſſe dicitur.

A τῆς πίστεως· ὁ δὲ βασιλεὺς, νομίσας συναινέσαι αὐτοὺς τοῖς περὶ ἀκάκιον καὶ εὐδόξιον, γενέσθαι ἐπέτρεψε· καὶ οὗτοι μὲν συγκροτεῖν σύνοδον ἐν τῇ λαμψάκῳ ἔσπευδον. οὐάλης δὲ ᾗ τάχος, ἐπὶ τὴν συρίας ἀντιόχειαν ὥρμησεν, ὑφορώμενος μὴ οἱ πέρσαι τὰς γενομένας ἐπὶ ἰοβιανοῦ τριακονταέτεις σπονδὰς παραλύσαντες, τοῖς ῥωμαίων ὅροις ἐπέλθοιεν· ἀλλὰ τὰ μὲν περσικὰ ἡσύχασεν· αὐτὸς δὲ τῇ ἡσυχίᾳ καταχρώμενος, κατὰ τῶν τὸ ὁμοούσιον φρονούντων ἄσπονδον ἤγειρε πόλεμον· καὶ παυλῖνον μὲν τὸν ἐπίσκοπον, δι' ὑπερβάλλουσαν τοῦ ἀνδρὸς εὐλάβειαν οὐδὲν κακὸν ἐποίησεν· μελίτιον δὲ ἐξορίᾳ ἐζημίωσε· τοὺς δὲ ἄλλους ὅσοι μὴ ἐβούλοντο εὐζωΐῳ κοινωνεῖν, τῶν μὲν ἐκκλησιῶν τῶν ἐν ἀντιοχείᾳ ἐξήλαυνεν· ζημίαις δὲ καὶ τιμωρίαις διαφόροις ὑπέβαλλεν· λέγεται δὲ ὅτι καὶ πολλοὺς εἰς τὸν παρακείμενον ποταμὸν ὀρρόντην ἀπέπνιξεν.

---

## Caput III.

*Quomodo dum Valens homouſianos in Oriente perſequitur, Conſtantinopoli ſurrexit tyrannus Procopius: eodemque tempore terræ motus & maris inundatio plurimas urbes evertit.*

## Κεφ. γ'.

C Ὅτι οὐάλεντος κακῶς ποιοῦντος ἐν τῇ ἀνατολῇ τοὺς τὸ ὁμοούσιον φρονοῦντας, ἐν τῇ κωνσταντίνου πόλει τύραννος ἀνέστη προκόπιος· ἐν δὲ τῷ αὐτῷ καιρῷ καὶ σεισμὸς ἐπιγενόμενος καὶ θαλάσσης ἐπίκλυσις, τὰς πολλὰς τῶν πόλεων ἔβλαψε.

Dum hæc à Valente in Syria geruntur, ſurrexit Conſtantinopoli tyrannus quidam nomine Procopius. Qui magnis copiis brevi tempore coactis, adverſum Imperatorem expeditionem parabat. Hujus rei nuntius maximam Imperatori incuſſit ſolicitudinem: quæ res perſecutionem ejus adverſus Catholicos ad tempus repreſſit. Dum motus belli civilis adhuc expectaretur, terræ motus ſubitò ingruens plurimas urbes concuſſit. Mare item terminos ſuos commutavit. Nam in quibuſdam locis uſque adeo exundavit, ut loca pedibus antea peragrari ſolita, navigarentur. Ab aliis autem locis tantopere receſſit, ut arida remanerent. Atque id contigit duobus Auguſtis primùm Conſulibus.

Ταῦτα δὲ αὐτοῦ κατὰ τὴν συρίαν ποιοῦντος, ἐπανίσταται ἐν τῇ κωνσταντίνου πόλει τύραννος, προκόπιος ὄνομα αὐτῷ· ὃς πολλὴν συγκροτήσας ἐν βραχεῖ χρόνῳ δύναμιν, ὁρμᾶν κατὰ τοῦ βασιλέως ἐσπούδαζεν· τοῦτο ἀπαγγελθὲν, εἰς ἀγωνίαν μεγίστην τὸν βασιλέα καθέστησεν, ἥτις αὐτοῦ, καὶ τὴν κατὰ τῶν διω- D κομένων ὁρμὴν, πρὸς ὀλίγον ἐπέσχεν· ὡς δ' ἡ τοῦ πολέμου ταραχὴ τέως ὠδίνετο, σεισμὸς ἐπιγενόμενος πολλὰς τῶν πόλεων ἔβλαψεν· ἥ τε θάλασσα τοὺς οἰκείους ὅρους ἐνήλλαξεν· ἔν τισι μὲν γὰρ τόποις τοσοῦτον ἐπέκλυσεν, ὡς τοὺς πρώην βασίμους τόπους πλεῖσθαι· ἐπ' ἑτέρων δὲ τόπων τοσοῦτον ἀπέστη, ὡς ἐν ξηρᾷ εὑρεθῆναι· καὶ τοῦτο ἐγένετο κατὰ τὴν πρώτην ὑπατείαν τῶν δύο βασιλέων.